

# ΑΝΤΩΝΙΩ ΒΩΡΒΟΝΙΩ ΤΩ͂ ΤΗ͂Σ ΝΑΒΑ͗ΡΡΑΣ ἘΞΟΧΩΤΑ͗ΤΩ,

εὐσεβεστάτῳ τε καὶ μεγαλοπρεπεστάτῳ βασιλεῖ, Ἰωάννης Βώρδατος ὁ Βιτουρικός, εὖ τε πράττειν καὶ μακαρίως διὰ τέλους ἀπαλλάττειν.

Καλλίμαχος Κυρηναῖος ὁ ποιητὴς δεινότατος, ὦ μέγα δυνάμενε βασιλεῦ, ἐν ἄλλαις ταυτηνὶ τὴν ἔλιπε τοῖς νέοις ἀξίαν γνώμην. οὔτ᾽ ἀρετῆς ἄτερ ὄλβος ἐπίσταται ἄνδρας ἀέξειν, γνώμη τῷ ὄντι ἀληθεστάτη. τί γὰρ ἄνθρωπος τὴν ἀρετὴν γεγυμνωμένος; ἆρ᾽ οὐ τῆς τιμῆς ἀξιωθήσεται; οὐδαμῶς. ἀλλά γε πάντες τουτονὶ ὑπολογίζονται μηδὲν τοῦ θηρίου διαφέρειν. ὥσπερ γὰρ ὁ ἀὴρ εἰ μὴ ἂν ταῖς τοῦ ἡλίου ἀκτῖσι λαμπρυνήται, δνοφερὸς καὶ σκοτεινός ἐστιν. οὕτως ἢ μὴ ἂν εὐφυΐα τοῦ ἀνθρώπου ἀρετῇ διαπονῆται καὶ ἐξεργάζηται, τραχεῖα, ἀγεννής, καὶ βοιωτίαν ὗν πνέουσα, διαμένει. ὅ, τι μὲν δεξιῶς καὶ εὐπαιδεύτως ἐμυθολογήσαντο ποιηταὶ ἀπὸ προσώπου τοῦ Ταντάλου, ὅς τις φιλοχρυσότατος ὢν καὶ ἐρασιχρηματίᾳ ἠσκημένος, τοῦ ὀνόματος ἀνάνδρου παρὰ τοῖς ἐγγόνοις ἔτυχεν. ἔτι δὲ σοφωτάτη Σαπφώ, ἣ ὡς ὑπ᾽ ἐξοχῆς τῆς λυρικῆς τοῖς ποιηταῖς δεκάτη τῶν μουσῶν καλεῖται, συμφωνεῖ τῷ Καλλιμάχῳ οὕτω κατ᾽ ἔπος λέγουσα. ὁ πλοῦτος ἄνευ ἀρετῆς οὐκ ἀγαθὸς σύνοικος, ἡ δ᾽ ἐξ ἀμφοτέρων κρᾶσις, εὐδαιμονίας ἔχει τὸ ἄκρον. καὶ Ἰσοκράτης ὁ ῥήτωρ τοῖς προλεγομένοις σύμψηφος ὤν, οὐδὲν κτῆμα τῆς ἀρετῆς σεμνότερον οὐδὲ βεβαιότερον εἶναι συμβιβάζει. τίς γοῦν διὰ τιμῆς, ὦ αἰδεσιμώτατε βασιλεῦ, σε οὐκ ἂν ἀξιοῖ, ἀμφοτέροις κοσμούμενον ὄντα; σὺ γοῦν ἐὼν βασιλεὺς βασιλήϊον αἷμα κομίζεις, καὶ πλείω τῆς τοῦ πολεμεῖν ἐπιστήμης, ἢ (ἀπείη δὲ τῷ λόγῳ μου κολακεία) οὐδένος τῶν ἐπὶ χθονὶ δερκομένοιο τυγχάνεις ὢν ἐλάττων, ἤπιος, φιλόχριστος, ἀνθρώπειος, ἀφιλόδοξος, δεινότατος, πολύβουλος, ἀφιλαργυρώτατός τε καὶ εὔνοος εἰς πάντας σὺν τῷ τῆς ἡλικίας ἀκμὴν ἐν τῇ ἀναγνώσει τῶν ἐν ἀμφοῖν ταῖν γλώσσαιν σοφῶς καλλιγραφησάντων ἡλωκότας, εἶς. λοιπὰς δὲ τὰς σοῦ ἀρετὰς σιγῇ παρελεύσομαι, ἵνα μὴ τούτων ἐνάπτεσθαι δοκῶ. ἐκλίποι γὰρ ἄν με ὁ χρόνος εἰ μεῖον τι ἐκείνων μέρος ἤθελον καταριθμεῖσθαι, καὶ οὐκ ἂν δυναίμην, οὐδ᾽ εἴ μοι δέκα μὲν γλῶσσαι, δέκα δὲ στόματ᾽ εἶεν, φωνὴ δ᾽ ἄρρηκτος χάλκεον δέ μοι ἦτορ ἐνείη, κατὰ τὸν ποιη-